# Corrigé du thème de Fénelon

(1)Ἔλεγεν ὁ Μέντωρ αὐτῷ

α) μάλα σπουδάζων ου μετὰ σεμνότητος πολλῆς ου σεμνοτάτῃ τῇ φωνῇ

β) πλάσματι χρώμενος φωνῆς σπουδαιοτάτῳ ·

(2) Σεμνολογῶν αὐτῷ Μέντωρ... [ἔφη après le vocatif]

Μῶν τὰ τοιαῦτ´ (ου τῶν τοιούτων), ὦ Τηλέμαχε, τῷ τοῦ Ὀδυσσέως υἱῷ δεῖ μέλειν; Ἐπιμελοῦ δὲ μᾶλλον ὅπως

(1) ἐκ τῆς τοῦ πατρὸς δόξης μὴ ἐκπεσεῖ, ἀλλὰ τὴν τῆς Τύχης δυσμένειαν νικήσεις·

(2) τῆς τοῦ πατρὸς δόξης μὴ ἥττω σαυτὸν παρέξεις, ἀλλὰ κρείττω τῶν τῆς Τύχης κακουργημάτων·

ὁ γὰρ νέος ὁ ματαίοις καλλωπίσμασιν οὕτω χαίρων ὥσπερ αἱ γυναῖκες ἀνάξιός ἐστι τῆς τε σωφροσύνης καὶ τῆς εὐκλείας·

(1) ἄξιος μέντοι (δ´αὖ) τῆς εὐκλείας ὁ τούς τε πόνους (ὑπο)φέρειν δυνάμενος καὶ καταπατεῖν τὰς ἡδονάς.

(2) ὀφείλεται δ᾽ ἡ εὔκλεια τούτῳ μόνῳ ὃς πρὸς τοὺς πόνους καρτερεῖν οἷός τ᾽ ἐστὶ καὶ τὰς ἡδονὰς καταπατεῖν.

Στενάξας δ᾽ ὁ Τηλέμαχος ἀπεκρίνατο·

(1) Ἐξολέσειέν μ᾽ οἱ θεοὶ εἴ ποτ᾽ ἐάσειν μέλλοιμι τὴν μαλακίαν καὶ τὰς ἡδονὰς τῆς ψυχῆς κρατεῖν.

(2) Πρότερον μ᾽ ἐξολέσειεν οἱ θεοὶ πρὶν τὴν ψυχήν με τῇ μαλακίᾳ παραδοῦναι καὶ ταῖς ἡδοναῖς.

(3) Ἐξώλης ἀπολέσθαι καὶ προώλης ἂν θέλοιμι μᾶλλον ἢ τῆς μαλακίας ἡττᾶσθαι καὶ τῶν ἡδονῶν

Οὐ γὰρ μὰ Δι᾽, οὐκ ἐστιν ὅπως ὁ τοῦ Ὀδυσσέως υἱός ποθ´ ἡττήσεται τῶν βίου ἀνάνδρου καὶ τεθρυμμένου χαρίτων. Ἀλλὰ τίνι θείᾳ τύχῃ ναυαγήσαντες (μετὰ τὴν ναυαγίαν) ἐκείνῃ ἐπετύχομεν, ἥπερ ἢ θεὸς ἢ γύνη (οὖσα) τοσαῦθ´ ἡμᾶς εὐεργετεῖ;

Ὑπολαβὼν δ´ ὁ Μέντωρ· Φοβοῦ, ἔφη, μὴ τοσαῦτά (πλείω) σε κακουργῇ ἐκείνη· φοβοῦ δὲ τὰς ἀπάτας τε καὶ χάριτας αὐτῆς μᾶλλον ἢ τὰς πέτρας εἰς ἃς ἐξώκειλεν ἡ ναῦς σου. Οὐ γὰρ αἰσχίω πάσχει ὁ ναυαγήσας ἢ ὅ γ᾽ ἀποθανὼν τοῦ ταῖς ἡδοναῖς διαφθειρομένου· εὐλαβοῦ τοίνυν μὴ τοῖς ἐκείνης λόγοις πιστεύσῃς. Οἱ γὰρ νέοι ἅτ᾽ αὐθαδεῖς ὄντες ἐν ἑαυτοῖς τὰς ἐλπίδας ἔχουσι τὰς καλλίστας καὶ μεγίστας, οἰόμενοι καίπερ οὔπω διακείμενοι ἀσφαλῶς οὐδὲν αὐτοῖς εἶναι οὔτ᾽ ἀδύνατον οὔτε φοβητέον ποτέ· ὥστ´ εἰκῇ καὶ προπετῶς τῷ τυχόντι πιστεύουσιν. Εὐλαβοῦ τοίνυν μὴ τοῖς τῆς Καλυψοῦς λόγοις πεισθῇς ἡδίστοις τε καὶ μαλακοῖς οὖσι καὶ οὕτω σ´ ὑπιοῦσιν ὥσπερ ὄφις ὑπ᾽ ἄνθη παραδύεται. Τὸ δὲ φάρμακον τὸ ἐν τούτοις κεκρυμμένον φοβοῦ καὶ ἀπιστῶν σαυτῷ ἀεὶ ἐμοὶ πρότερον συμβουλεύου πρίν τι γνῶναι.